ἐς τὰς Ἀθήνας. Ἀλλὰ τῶν φρονημάτων
ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.

ΔΗ. Ἥκει στράτευμ' Ἀργεῖον Εὐρυσθεύς τ' ἄναξ·
ἐγώ νιν αὐτὸς εἶδον. Ἄνδρα γὰρ χρεών,
ὅστις στρατηγεῖν φησ' ἐπίστασθαι καλῶς,
οὐκ ἀγγέλοισι τοὺς ἐναντίους ὁρᾶν.
Πεδία μὲν οὖν γῆς ἐς τάδ' οὐκ ἐφῆκέ πω
στρατόν, λεπαίαν δ' ὀφρύην καθήμενος
σκοπεῖ — δόκησιν δὴ τόδ' ἂν λέγοιμί σοι —
ποίᾳ προσάξει στρατόπεδόν τ' ἄνευ δορὸς
ἐν ἀσφαλεῖ τε τῆσδ' ἱδρύσεται χθονός.
Καὶ τἀμὰ μέντοι πάντ' ἄραρ' ἤδη καλῶς·
πόλις τ' ἐν ὅπλοις, σφάγιά θ' ἡτοιμασμένα
ἕστηκεν οἷς χρὴ ταῦτα τέμνεσθαι θεῶν,
θυηπολεῖται δ' ἄστυ μάντεων ὕπο,
τροπαῖά τ' ἐχθρῶν καὶ πόλει σωτήρια.
Χρησμῶν δ' ἀοιδοὺς πάντας εἰς ἓν ἁλίσας
ἤλεγξα καὶ βέβηλα καὶ κεκρυμμένα
λόγια παλαιά, τῇδε γῇ σωτήρια.
Καὶ τῶν μὲν ἄλλων διάφορ' ἐστὶ θεσφάτοις
πόλλ'· ἓν δὲ πᾶσι γνῶμα ταὐτὸν ἐμπρέπει·
σφάξαι κελεύουσίν με παρθένον Κόρῃ
Δήμητρος, ἥτις ἐστὶ πατρὸς εὐγενοῦς.
Ἐγὼ δ' ἔχω μέν, ὡς ὁρᾷς, προθυμίαν
τοσήνδ' ἐς ὑμᾶς· παῖδα δ' οὔτ' ἐμὴν κτενῶ
οὔτ' ἄλλον ἀστῶν τῶν ἐμῶν ἀναγκάσω
ἄκονθ'· ἑκὼν δὲ τίς κακῶς οὕτω φρονεῖ,
ὅστις τὰ φίλτατ' ἐκ χερῶν δώσει τέκνα;
Καὶ νῦν πικρὰς ἂν συστάσεις ἂν εἰσίδοις,

393 τάδ' H. Estienne : τόδ' || 394 λεπαίαν rec : λεπάραν || 396 τ' ἄνευ Musgrave : τὰ νῦν || 406 θεσφάτοις Kirchhoff : -των || 407 πᾶσι schol. Soph. *Antig.* 174 : πάντων || 408 κόρη Barnes : -ρην || 411 κτενῶ Elmsley : κτα-.